δόλος κρυφαῖος ἑστάναι κατ᾽ εὐφρόνην;
ΕΚ. φεύγουσιν ἄνδρες κἀπιβαίνουσιν νεῶν.
ΑΙ. τί τῶνδ᾽ ἂν εἴποις ἀσφαλὲς τεκμήριον;
ΕΚ. αἴθουσι πᾶσαν νύκτα λαμπάδας πυρός·
καί μοι δοκοῦσιν οὐ μενεῖν ἐς αὔριον,
ἀλλ᾽ ἐκκέαντες πύρσ᾽ ἐπ᾽ εὐσέλμων νεῶν
φυγῇ πρὸς οἴκους τῆσδ᾽ ἀφορμήσειν χθονός.
ΑΙ. σὺ δ᾽ ὡς τί δράσων πρὸς τάδ᾽ ὁπλίζει χέρα;
ΕΚ. φεύγοντας αὐτοὺς κἀπιθρώσκοντας νεῶν
λόγχῃ καθέξω κἀπικείσομαι βαρύς·
αἰσχρὸν γὰρ ἡμῖν καὶ πρὸς αἰσχύνῃ κακὸν
θεοῦ διδόντος πολεμίους ἄνευ μάχης
φεύγειν ἐᾶσαι πολλὰ δράσαντας κακά.
ΑΙ. εἴθ᾽ ἦσθ᾽ ἀνὴρ εὔβουλος, ὡς δρᾶσαι χερί.
ἀλλ᾽ οὐ γὰρ αὐτὸς πάντ᾽ ἐπίστασθαι βροτῶν
πέφυκεν· ἄλλῳ δ᾽ ἄλλο πρόσκειται γέρας,
σοὶ μὲν μάχεσθαι, τοῖς δὲ βουλεύειν καλῶς.
ὅστις πυρὸς λαμπτῆρας ἐξήρθης κλύων
φεύγειν Ἀχαιούς, καὶ στρατὸν μέλλεις ἄγειν,
τάφρους ὑπερβὰς νυκτὸς ἐν καταστάσει.
καίτοι περάσας κοῖλον αὐλώνων βάθος,
εἰ μὴ κυρήσεις πολεμίους ἀπὸ χθονὸς
φεύγοντας, ἀλλὰ σὸν βλέποντας ἐς δόρυ,
νικώμενος μὲν τήνδε μὴ οὐ μόλῃς πόλιν·
πῶς γὰρ περάσεις σκόλοπας ἐν τροπῇ δορός;
πῶς δ᾽ αὖ γεφύρας διαβαλοῦσ᾽ ἱππηλάται,
ἢν ἄρα μὴ θραύσαντες ἀντύγων χνόας;
νικῶν δ᾽ ἔφεδρον παῖδ᾽ ἔχεις τὸν Πηλέως,
ὅς σ᾽ οὐκ ἐάσει ναυσὶν ἐμβαλεῖν φλόγα,
οὐδ᾽ ὧδ᾽ Ἀχαιοὺς ὡς δοκεῖς ἀναρπάσαι.
αἴθων γὰρ ἀνὴρ καὶ πεπύργωται θράσει.
ἀλλὰ στρατὸν μὲν ἥσυχον παρ᾽ ἀσπίδας
εὕδειν ἐῶμεν ἐκ κόπων ἀρειφάτων,
κατάσκοπον δὲ πολεμίων, ὃς ἂν θέλῃ,